# ΕΝΔΕΚΑΤΟΣ ΟΛΥΜΠΙΟΝΙΚΟΣ

## ΑΓΗΣΙΔΑΜΩΙ ΛΟΚΡΩΙ ΕΠΙΖΕΦΥΡΙΩΙ ΠΑΙΔΙ ΠΥΚΤΗΙ

Ἔστιν ἀνθρώποις ἀνέμων ὅτε πλείστα
χρῆσις· ἔστιν δ' οὐρανίων ὑδάτων,
ὀμβρίων παίδων νεφέλας·
εἰ δὲ σὺν πόνωι τις εὖ πράσσοι, μελιγάρυες ὕμνοι
ὑστέρων ἀρχὰ λόγων
τέλλεται καὶ πιστὸν ὅρκιον μεγάλαις ἀρεταῖς·
ἀφθόνητος δ' αἶνος Ὀλυμπιονίκαις
οὗτος ἄγκειται. τὰ μὲν ἁμετέρα
γλῶσσα ποιμαίνειν ἐθέλει,
ἐκ θεοῦ δ' ἀνὴρ σοφαῖς ἀνθεῖ πραπίδεσσιν ὁμοίως.
ἴσθι νῦν, Ἀρχεστράτου
παῖ, τεᾶς, Ἁγησίδαμε, πυγμαχίας ἕνεκεν
κόσμον ἐπὶ στεφάνωι χρυσέας ἐλαίας
ἁδυμελῆ κελαδήσω,
Ζεφυρίων Λοκρῶν γενεὰν ἀλέγων.
ἔνθα συγκωμάξατ'· ἐγγυάσομαι
μή μιν, ὦ Μοῖσαι, φυγόξεινον στρατόν
μηδ' ἀπείρατον καλῶν
ἀκρόσοφόν τε καὶ αἰχματὰν ἀφίξε-
σθαι. τὸ γὰρ ἐμφυὲς οὔτ' αἴθων ἀλώπηξ
οὔτ' ἐρίβρομοι λέοντες διαλλάξαιντο ἦθος.

8 ἄγκειται schol., Byz.: ἔγκειται codd. 10 ὁμοίως e schol. Leutsch: ὅμως ὧν ζ: om. Av 15 Ζεφυρίων Boehmer: τῶν ἐπιζεφυρίων codd. 17 μή μιν codd.: μή τιν' Thiersch: ὔμμιν Bergk 18 μηδ' codd.: μήτ' Bergk 20 διαλλάξαιντο codd.: διαλλάξαιντ' ἄν C (supra lineam): διαλλάξαντο Lehrs

# ΕΒΔΟΜΟΣ ΙΣΘΜΙΟΝΙΚΟΣ

## ΣΤΡΕΨΙΑΔΑΙ ΘΗΒΑΙΩΙ ΠΑΓΚΡΑΤΙΩΙ

Α′ Τίνι τῶν πάρος, ὦ μάκαιρα Θήβα,
καλῶν ἐπιχωρίων μάλιστα θυμὸν τεόν
εὔφρανας; ἦρα χαλκοκρότου πάρεδρον
Δαμάτερος ἀνίκ' εὐρυχαίταν
ἄντειλας Διόνυσον, ἢ χρυσῶι μεσονύκτιον
νείφοντα δεξαμένα τὸν φέρτατον θεῶν,
ὁπότ' Ἀμφιτρύωνος ἐν θυρέτροις
σταθεὶς ἄλοχον μετῆλθεν Ἡρακλείοις γοναῖς;
ἢ ἀμφὶ πυκναῖς Τειρεσίαο βουλαῖς;
ἢ ἀμφ' Ἰόλαον ἱππόμητιν;
ἢ Σπαρτῶν ἀκαμαντολογχᾶν; ἢ ὅτε καρτερᾶς
Ἄδραστον ἐξ ἀλαλᾶς ἄμπεμψας ὀρφανόν
μυρίων ἑτάρων ἐς Ἄργος ἵππιον;
ἢ Δωρίδ' ἀποικίαν οὕνεκεν ὀρθῶι
ἔστασας ἐπὶ σφυρῶι
Λακεδαιμονίων, ἕλον δ' Ἀμύκλας
Αἰγεΐδαι σέθεν ἔκγονοι, μαντεύμασι Πυθίοις;
ἀλλὰ παλαιὰ γάρ
εὕδει χάρις, ἀμνάμονες δὲ βροτοί,

Β′ ὅ τι μὴ σοφίας ἄωτον ἄκρον
κλυταῖς ἐπέων ῥοαῖσιν ἐξίκηται ζυγέν·
κώμαζ' ἔπειτεν ἀδυμελεῖ σὺν ὕμνωι
καὶ Στρεψιάδαι· φέρει γὰρ Ἰσθμοῖ
νίκαν παγκρατίου, σθένει τ' ἔκπαγλος ἰδεῖν τε μορ-
φάεις, ἄγει τ' ἀρετὰν οὐκ αἴσχιον φυᾶς.
φλέγεται δὲ ἰοπλόκοισι Μοίσαις,

8 ἢ Benedictus: ἢ ὅτ' codd. 9 ἢ Schmid: ἢ ὅτ' codd. 22 αἴσχιον B: αἴσχθιον D: αἰσχίω Triclinius 23 δὲ ἰοπλόκοισι Bergk: δ' ἰοπλοκάμοισι codd.

μάτρωΐ θ' ὁμωνύμωι δέδωκε κοινὸν θάλος,
χάλκασπις ὧι πότμον μὲν Ἄρης ἔμειξεν,
τιμὰ δ' ἀγαθοῖσιν ἀντίκειται.
ἴστω γὰρ σαφὲς ὅστις ἐν ταύται νεφέλαι χάλα-
ζαν αἵματος πρὸ φίλας πάτρας ἀμύνεται,
λοιγὸν ἀντὰ φέρων ἐναντίωι στρατῶι,
ἀστῶν γενεᾶι μέγιστον κλέος αὔξων
ζώων τ' ἀπὸ καὶ θανών.
τὺ δέ, Διοδότοιο παῖ, μαχατὰν
αἰνέων Μελέαγρον, αἰνέων δὲ καὶ Ἕκτορα
Ἀμφιάραόν τε,
εὐανθέ' ἀπέπνευσας ἁλικίαν

Γ' προμάχων ἀν' ὅμιλον, ἔνθ' ἄριστοι
ἔσχον πολέμοιο νεῖκος ἐσχάταις ἐλπίσιν.
ἔτλαν δὲ πένθος οὐ φατόν· ἀλλὰ νῦν μοι
Γαιάοχος εὐδίαν ὄπασσεν
ἐκ χειμῶνος. ἀείσομαι χαίταν στεφάνοισιν ἁρ-
μόζων. ὁ δ' ἀθανάτων μὴ θρασσέτω φθόνος.
ὅ τι τερπνὸν ἐφάμερον διώκων
ἕκαλος ἔπειμι γῆρας ἔς τε τὸν μόρσιμον
αἰῶνα. θνάισκομεν γὰρ ὁμῶς ἅπαντες·
δαίμων δ' ἄϊσος· τὰ μακρὰ δ' εἴ τις
παπταίνει, βραχὺς ἐξικέσθαι χαλκόπεδον θεῶν
ἕδραν· ὅ τοι πτερόεις ἔρριψε Πάγασος
δεσπόταν ἐθέλοντ' ἐς οὐρανοῦ σταθμούς
ἐλθεῖν μεθ' ὁμάγυριν Βελλεροφόνταν
Ζηνός. τὸ δὲ πὰρ δίκαν
γλυκὺ πικροτάτα μένει τελευτά.
ἄμμι δ', ὦ χρυσέαι κόμαι θάλλων, πόρε, Λοξία,
τεαῖσιν ἁμίλλαισιν
εὐανθέα καὶ Πυθόϊ στέφανον.

28 ἀντὰ φέρων Thiersch: ἀμύνων codd.

# ΤΕΤΑΡΤΟΣ ΙΣΘΜΙΟΝΙΚΟΣ

## ΜΕΛΙΣΣΩΙ ΘΗΒΑΙΩΙ ΙΠΠΟΙΣ

Α′ Ἔστι μοι θεῶν ἕκατι μυρία παντᾶι κέλευθος,
ὦ Μέλισσ', εὐμαχανίαν γὰρ ἔφανας Ἰσθμίοις,
ὑμετέρας ἀρετὰς ὕμνωι διώκειν·
αἷσι Κλεωνυμίδαι θάλλοντες αἰεί
σὺν θεῶι θνατὸν διέρχον-
ται βιότου τέλος. ἄλλοτε δ' ἀλλοῖος οὖρος
πάντας ἀνθρώπους ἐπαΐσσων ἐλαύνει.
τοὶ μὲν ὦν Θήβαισι τιμάεντες ἀρχᾶθεν λέγονται
πρόξενοί τ' ἀμφικτιόνων κελαδεννᾶς τ' ὀρφανοί
ὕβριος· ὅσσα δ' ἐπ' ἀνθρώπους ἄηται
μαρτύρια φθιμένων ζωῶν τε φωτῶν
ἀπλέτου δόξας, ἐπέψαυ-
σαν κατὰ πὰν τέλος· ἀνορέαις δ' ἐσχάταισιν
οἴκοθεν στάλαισιν ἅπτονθ' Ἡρακλείαις·
καὶ μηκέτι μακροτέραν σπεύδειν ἀρετάν·
ἱπποτρόφοι τ' ἐγένοντο,
χαλκέωι τ' Ἄρει ἅδον.
ἀλλ' ἁμέραι γὰρ ἐν μιᾶι
τραχεῖα νιφὰς πολέμοιο τεσσάρων
ἀνδρῶν ἐρήμωσεν μάκαιραν ἑστίαν·
νῦν δ' αὖ μετὰ χειμέριον ποικίλων μηνῶν ζόφον
χθὼν ὥτε φοινικέοισιν ἄνθησεν ῥόδοις

Β′ δαιμόνων βουλαῖς. ὁ κινητὴρ δὲ γᾶς Ὀγχηστὸν οἰκέων
καὶ γέφυραν ποντιάδα πρὸ Κορίνθου τειχέων,
τόνδε πορὼν γενεᾶι θαυμαστὸν ὕμνον
ἐκ λεχέων ἀνάγει φάμαν παλαιάν
εὐκλέων ἔργων· ἐν ὕπνωι
γὰρ πέσεν· ἀλλ' ἀνεγειρομένα χρῶτα λάμπει,

Inscr. ΙΠΠΟΙΣ Bowra, Privitera: ΠΑΓΚΡΑΤΙΩΙ edd. plerique 5 βιότου Donaldson: βίου codd. 18 χειμέριον ποικίλων codd.: χειμερίων ποικίλα Hartung

Ἀοσφόρος θαητὸς ὣς ἄστροις ἐν ἄλλοις·
ἅ τε κὰν γουνοῖς Ἀθανᾶν ἅρμα καρύξαισα νικᾶν
ἔν τ' Ἀδραστείοις ἀέθλοις Σικυῶνος ὤπασεν
τοιάδε τῶν τότ' ἐόντων φύλλ' ἀοιδᾶν.
οὐδὲ παναγυρίων ξυνᾶν ἀπεῖχον
καμπύλον δίφρον, Πανελλά-
νεσσι δ' ἐριζόμενοι δαπάναι χαῖρον ἵππων.
τῶν ἀπειράτων γὰρ ἄγνωστοι σιωπαί.
ἔστιν δ' ἀφάνεια τύχας καὶ μαρναμένων,
πρὶν τέλος ἄκρον ἱκέσθαι·
τῶν τε γὰρ καὶ τῶν διδοῖ
καὶ κρέσσον' ἀνδρῶν χειρόνων
35a ἔσφαλε τέχναι καταμάρψαισ'· ἴστε μὰν
b Αἴαντος ἀλκὰν φοίνιον, τὰν ὀψίαι
36a ἐν νυκτὶ ταμὼν περὶ ᾧ φασγάνωι μομφὰν ἔχει
b παίδεσσιν Ἑλλάνων ὅσοι Τροίανδ' ἔβαν.

Γ ἀλλ' Ὅμηρός τοι τετίμακεν δι' ἀνθρώπων, ὃς αὐτοῦ
πᾶσαν ὀρθώσαις ἀρετὰν κατὰ ῥάβδον ἔφρασεν
θεσπεσίων ἐπέων λοιποῖς ἀθύρειν.
τοῦτο γὰρ ἀθάνατον φωνᾶεν ἕρπει,
εἴ τις εὖ εἴπηι τι· καὶ πάγ-
καρπον ἐπὶ χθόνα καὶ διὰ πόντον βέβακεν
ἐργμάτων ἀκτὶς καλῶν ἄσβεστος αἰεί.
προφρόνων Μοισᾶν τύχοιμεν,
κεῖνον ἅψαι πυρσὸν ὕμνων
καὶ Μελίσσωι, παγκρατίου στεφάνωμ' ἐπάξιον,
ἔρνεϊ Τελεσιάδα. τόλμαι γὰρ εἰκὼς
θυμὸν ἐριβρεμετᾶν θηρῶν λεόντων
ἐν πόνωι, μῆτιν δ' ἀλώπηξ,
αἰετοῦ ἅ τ' ἀναπιτναμένα ῥόμβον ἴσχει·

33 διδοῖ Triclin.: διδοῖ τέλος codd. 35 τέχναι B: τέχνα D 46 θυμὸν codd.: θυμῶι Christ θηρῶν Heyne: θηρᾶν codd.: θηρᾶι e schol. Hermann

χρὴ δὲ πᾶν ἔρδοντ' ἀμαυρῶσαι τὸν ἐχθρόν.
οὐ γὰρ φύσιν Ὠαριωνείαν ἔλαχεν·
ἀλλ' ὀνοτὸς μὲν ἰδέσθαι,
συμπεσεῖν δ' αἰχμᾷ βαρύς.
καί τοί ποτ' Ἀνταίου δόμους
Θηβᾶν ἄπο Καδμεϊᾶν μορφὰν βραχύς,
ψυχὰν δ' ἄκαμπτος, προσπαλαίσων ἦλθ' ἀνὴρ
τὰν πυροφόρον Λιβύαν, κρανίοις ὄφρα ξένων
ναὸν Ποσειδάωνος ἐρέφοντα σχέθοι,

Δ' υἱὸς Ἀλκμήνας· ὃς Οὔλυμπόνδ' ἔβα, γαίας τε πάσας
καὶ βαθυκρήμνου πολιᾶς ἁλὸς ἐξευρὼν θέναρ,
ναυτιλίαισί τε πορθμὸν ἡμερώσαις.
νῦν δὲ παρ' Αἰγιόχωι κάλλιστον ὄλβον
ἀμφέπων ναίει, τετίμα-
ταί τε πρὸς ἀθανάτων φίλος, Ἥβαν τ' ὀπυίει,
χρυσέων οἴκων ἄναξ καὶ γαμβρὸς Ἥρας.
τῶι μὲν Ἀλεκτρᾶν ὕπερθεν δαῖτα πορσύνοντες ἀστοί
καὶ νεόδματα στεφανώματα βωμῶν αὔξομεν
ἔμπυρα χαλκοαρᾶν ὀκτὼ θανόντων,
τοὺς Μεγάρα τέκε οἱ Κρεοντὶς υἱούς·
τοῖσιν ἐν δυθμαῖσιν αὐγᾶν
φλὸξ ἀνατελλομένα συνεχὲς παννυχίζει,
αἰθέρα κνισάεντι λακτίζοισα καπνῶι,
καὶ δεύτερον ἆμαρ ἐτείων τέρμ' ἀέθλων
γίνεται, ἰσχύος ἔργον.
ἔνθα λευκωθεὶς κάρα
μύρτοις ὅδ' ἀνὴρ διπλόαν
νίκαν ἀνεφάνατο παίδων τε τρίταν
πρόσθεν, κυβερνατῆρος οἰακοστρόφου
γνώμαι πεπιθὼν πολυβούλωι· σὺν Ὀρσέαι δέ νιν
κωμάξομαι τερπνὰν ἐπιστάζων χάριν.

51 αἰχμᾷ codd.: ἀκμᾷ Pauw    71 τε Hermann: om. codd.

# ΤΡΙΤΟΣ ΙΣΘΜΙΟΝΙΚΟΣ

## ΜΕΛΙΣΣΩΙ ΘΗΒΑΙΩΙ ΙΠΠΟΙΣ

Εἴ τις ἀνδρῶν εὐτυχήσαις ἢ σὺν εὐδόξοις ἀέθλοις
ἢ σθένει πλούτου κατέχει φρασὶν αἰανῆ κόρον,
ἄξιος εὐλογίαις ἀστῶν μεμίχθαι.
Ζεῦ, μεγάλαι δ' ἀρεταὶ θνατοῖς ἕπονται
5 ἐκ σέθεν· ζώει δὲ μάσσων
ὄλβος ὀπιζομένων, πλαγίαις δὲ φρένεσσιν
οὐχ ὁμῶς πάντα χρόνον θάλλων ὁμιλεῖ.
εὐκλέων δ' ἔργων ἄποινα χρὴ μὲν ὑμνῆσαι τὸν ἐσλόν,
χρὴ δὲ κωμάζοντ' ἀγαναῖς χαρίτεσσι βαστάσαι.
ἔστι δὲ καὶ διδύμων ἀέθλων Μελίσσωι
10 μοῖρα πρὸς εὐφροσύναν τρέψαι γλυκεῖαν
ἦτορ, ἐν βάσσαισιν Ἰσθμοῦ
δεξαμένωι στεφάνους, τὰ δὲ κοίλαι λέοντος
ἐν βαθυστέρνου νάπαι κάρυξε Θήβαν
ἱπποδρομίαι κρατέων· ἀνδρῶν δ' ἀρετάν
σύμφυτον οὐ κατελέγχει.
15 ἴστε μὰν Κλεωνύμου
δόξαν παλαιὰν ἅρμασιν·
17a καὶ ματρόθε Λαβδακίδαισι σύννομοι
b πλούτου διέστειχον τετραοριᾶν πόνοις.
18a αἰὼν δὲ κυλινδομέναις ἁμέραις ἄλλ' ἄλλοτ' ἐξ-
b άλλαξεν. ἄτρωτοί γε μὰν παῖδες θεῶν.

8 χαρίτεσσι codd.: χαρίτεσσιν Er. Schmid 12 βαθυστέρνου codd.: βαθυστέρνωι schol. (cf. *N.* 9.25) 17 Λαβδακίδαισι codd.: Λαβδακίδαισιν Boeckh

# ΤΕΤΑΡΤΟΣ ΝΕΜΕΟΝΙΚΟΣ

## ΤΙΜΑΣΑΡΧΩΙ ΑΙΓΙΝΗΤΗΙ ΠΑΙΔΙ ΠΑΛΑΙΣΤΗΙ

Α′ Ἄριστος εὐφροσύνα πόνων κεκριμένων
ἰατρός· αἱ δὲ σοφαί
Μοισᾶν θύγατρες ἀοιδαὶ θέλξαν νιν ἁπτόμεναι.
οὐδὲ θερμὸν ὕδωρ τόσον γε μαλθακὰ τεύχει
γυῖα, τόσσον εὐλογία φόρμιγγι συνάορος.
ῥῆμα δ᾽ ἐργμάτων χρονιώτερον βιοτεύει,
ὅ τι κε σὺν Χαρίτων τύχαι
γλῶσσα φρενὸς ἐξέλοι βαθείας.

—

Β′ τό μοι θέμεν Κρονίδαι τε Δὶ καὶ Νεμέαι
Τιμασάρχου τε πάλαι
ὕμνου προκώμιον εἴη· δέξαιτο δ᾽ Αἰακιδᾶν
ἠύπυργον ἕδος, δίκαι ξεναρκέϊ κοινόν
φέγγος. εἰ δ᾽ ἔτι ζαμενεῖ Τιμόκριτος ἁλίωι
σὸς πατὴρ ἐθάλπετο, ποικίλον κιθαρίζων
θαμά κε, τῶιδε μέλει κλιθείς,
υἱὸν κελάδησε καλλίνικον

—

Γ′ Κλεωναίου τ᾽ ἀπ᾽ ἀγῶνος ὅρμον στεφάνων
πέμψαντα καὶ λιπαρᾶν
εὐωνύμων ἀπ᾽ Ἀθανᾶν, Θήβαις τ᾽ ἐν ἑπταπύλοις
οὕνεκ᾽ Ἀμφιτρύωνος ἀγλαὸν παρὰ τύμβον
Καδμεῖοί νιν οὐκ ἀέκοντες ἄνθεσι μείγνυον,
Αἰγίνας ἕκατι. φίλοισι γὰρ φίλος ἐλθών
ξένιον ἄστυ κατέδρακεν
Ἡρακλέος ὀλβίαν πρὸς αὐλάν.

—

Δ′ ξὺν ὧι ποτε Τροΐαν κραταιὸς Τελαμών
πόρθησε καὶ Μέροπας

Inscr. ΠΑΙΔΙ add. Boeckh 8 ἐξέλοι codd.: ἐξέληι Bergk 16 υἱὸν Bergk: ὕμνον codd.

καὶ τὸν μέγαν πολεμιστὰν ἔκπαγλον Ἀλκυονῆ,
οὐ τετραορίας γε πρὶν δυώδεκα πέτρωι
ἥροάς τ' ἐπεμβεβαῶτας ἱπποδάμους ἕλεν
δὶς τόσους. ἀπειρομάχας ἐών κε φανείη
λόγον ὁ μὴ ξυνιείς· ἐπεί
ῥέζοντά τι καὶ παθεῖν ἔοικεν.

E′ τὰ μακρὰ δ' ἐξενέπειν ἐρύκει με τεθμός
ὧραί τ' ἐπειγόμεναι·
ἴϋγγι δ' ἕλκομαι ἦτορ νεομηνίαι θιγέμεν.
ἔμπα, καίπερ ἔχει βαθεῖα ποντιὰς ἅλμα
μέσσον, ἀντίτειν' ἐπιβουλίαι· σφόδρα δόξομεν
δαΐων ὑπέρτεροι ἐν φάει καταβαίνειν.
φθονερὰ δ' ἄλλος ἀνὴρ βλέπων
γνώμαν κενεὰν σκότωι κυλίνδει

Ϝ′ χαμαὶ πετοῖσαν· ἐμοὶ δ' ὁποίαν ἀρετάν
ἔδωκε Πότμος ἄναξ,
εὖ οἶδ' ὅτι χρόνος ἕρπων πεπρωμέναν τελέσει.
ἐξύφαινε, γλυκεῖα, καὶ τόδ' αὐτίκα, φόρμιγξ,
Λυδίαι σὺν ἁρμονίαι μέλος πεφιλημένον
Οἰνώναι τε καὶ Κύπρωι, ἔνθα Τεῦκρος ἀπάρχει
ὁ Τελαμωνιάδας· ἀτάρ
Αἴας Σαλαμῖν' ἔχει πατρώιαν·

Z′ ἐν δ' Εὐξείνωι πελάγει φαεννὰν Ἀχιλεύς
νᾶσον· Θέτις δὲ κρατεῖ
Φθίαι· Νεοπτόλεμος δ' ἀπείρωι διαπρυσίαι,
βουβόται τόθι πρῶνες ἔξοχοι κατάκεινται
Δωδώναθεν ἀρχόμενοι πρὸς Ἰόνιον πόρον.
Παλίου δὲ πὰρ ποδὶ λατρίαν Ἰαολκόν
πολεμίαι χερὶ προστραπών
Πηλεὺς παρέδωκεν Αἱμόνεσσιν

36 καίπερ codd.: καὶ περ (i.e. καὶ εἴπερ) Christ 37 ἐπιβουλίαι BD: ἐπιβουλίαις V

Η′ δάμαρτος Ἱππολύτας Ἀκάστου δολίαις
τέχναισι χρησάμενος·
τᾶι Δαιδάλου δὲ μαχαίραι φύτευέ οἱ θάνατον
ἐκ λόχου Πελίαο παῖς· ἄλαλκε δὲ Χείρων.
καὶ τὸ μόρσιμον Διόθεν πεπρωμένον ἔκφερεν·
πῦρ δὲ παγκρατὲς θρασυμαχάνων τε λεόντων
ὄνυχας ὀξυτάτους ἀκμάν
τε δεινοτάτων σχάσαις ὀδόντων

—

Θ′ ἔγαμεν ὑψιθρόνων μίαν Νηρεΐδων.
εἶδεν δ’ εὔκυκλον ἕδραν,
τᾶς οὐρανοῦ βασιλῆες πόντου τ’ ἐφεζόμενοι
δῶρα καὶ κράτος ἐξέφαναν ἐγγενὲς αὐτῶι.
Γαδείρων τὸ πρὸς ζόφον οὐ περατόν· ἀπότρεπε
αὖτις Εὐρώπαν ποτὶ χέρσον ἔντεα ναός·
ἄπορα γὰρ λόγον Αἰακοῦ
παίδων τὸν ἅπαντά μοι διελθεῖν.

—

Ι′ Θεανδρίδαισι δ’ ἀεξιγυίων ἀέθλων
κάρυξ ἑτοῖμος ἔβαν
Οὐλυμπίαι τε καὶ Ἰσθμοῖ Νεμέαι τε συνθέμενος,
ἔνθα πεῖραν ἔχοντες οἴκαδε κλυτοκάρπων
οὐ νέοντ’ ἄνευ στεφάνων, πάτραν ἵν’ ἀκούομεν,
Τιμάσαρχε, τεὰν ἐπινικίοισιν ἀοιδαῖς
πρόπολον ἔμμεναι. εἰ δέ τοι
μάτρωι μ’ ἔτι Καλλικλεῖ κελεύεις

—

ΙΑ′ στάλαν θέμεν Παρίου λίθου λευκοτέραν·
ὁ χρυσὸς ἑψόμενος
αὐγὰς ἔδειξεν ἁπάσας, ὕμνος δὲ τῶν ἀγαθῶν
ἐργμάτων βασιλεῦσιν ἰσοδαίμονα τεύχει
φῶτα· κεῖνος ἀμφ’ Ἀχέροντι ναιετάων ἐμάν

59 Δαιδάλου codd.: δαιδάλωι Didymus  64 τε codd.: καὶ Ahlwardt  67 τᾶς codd.: τὰν Herwerden  68 ἐγγενὲς Rittershusius e schol.: ἐς γενέας codd.: ἐς γένος Ursinus

γλῶσσαν εὑρέτω κελαδῆτιν, Ὀρσοτριαίνα
ἵν' ἐν ἀγῶνι βαρυκτύπου
θάλησε Κορινθίοις σελίνοις·

ΙΒ' τὸν Εὐφάνης ἐθέλων γεραιὸς προπάτωρ
σὸς ἄεισέν ποτε, παῖ.
ἄλλοισι δ' ἅλικες ἄλλοι· τὰ δ' αὐτὸς ἀντιτύχηι,
ἔλπεταί τις ἕκαστος ἐξοχώτατα φάσθαι.
οἷον αἰνέων κε Μελησίαν ἔριδα στρέφοι,
ῥήματα πλέκων, ἀπάλαιστος ἐν λόγωι ἕλκειν,
μαλακὰ μὲν φρονέων ἐσλοῖς,
τραχὺς δὲ παλιγκότοις ἔφεδρος.

90 σὸς ἄεισέν ποτε, παῖ Boeckh: ὁ σὸς ἀείσεται, παῖ codd.: ἀείσεται, παῖ, ὁ σός Mommsen

# ΕΒΔΟΜΟΣ ΟΛΥΜΠΙΟΝΙΚΟΣ

## ΔΙΑΓΟΡΑΙ ΡΟΔΙΩΙ ΠΥΚΤΗΙ

Α′ Φιάλαν ὡς εἴ τις ἀφνειᾶς ἀπὸ χειρὸς ἑλών
ἔνδον ἀμπέλου καχλάζοισαν δρόσωι
δωρήσεται
νεανίαι γαμβρῶι προπίνων
οἴκοθεν οἴκαδε, πάγχρυσον, κορυφὰν κτεάνων,
συμποσίου τε χάριν κᾶ-
δός τε τιμάσαις ἑόν, ἐν δὲ φίλων
παρεόντων θῆκέ νιν ζαλωτὸν ὁμόφρονος εὐνᾶς·
καὶ ἐγὼ νέκταρ χυτόν, Μοισᾶν δόσιν, ἀεθλοφόροις
ἀνδράσιν πέμπων, γλυκὺν καρπὸν φρενός,
ἱλάσκομαι,
Ὀλυμπίαι Πυθοῖ τε νικών-
τεσσιν· ὁ δ' ὄλβιος, ὃν φᾶμαι κατέχοντ' ἀγαθαί·
ἄλλοτε δ' ἄλλον ἐποπτεύ-
ει Χάρις ζωθάλμιος ἁδυμελεῖ
θαμὰ μὲν φόρμιγγι παμφώνοισί τ' ἐν ἔντεσιν αὐλῶν.
καί νυν ὑπ' ἀμφοτέρων σὺν
Διαγόραι κατέβαν, τὰν ποντίαν
ὑμνέων παῖδ' Ἀφροδίτας
Ἀελίοιό τε νύμφαν, Ῥόδον,
εὐθυμάχαν ὄφρα πελώριον ἄνδρα παρ' Ἀλ-
φειῶι στεφανωσάμενον
αἰνέσω πυγμᾶς ἄποινα
καὶ παρὰ Κασταλίαι, πα-
τέρα τε Δαμάγητον ἁδόντα Δικαι,
Ἀσίας εὐρυχόρου τρίπολιν νᾶσον πέλας
ἐμβόλωι ναίοντας Ἀργείαι σὺν αἰχμᾶι.

Β′ ἐθελήσω τοῖσιν ἐξ ἀρχᾶς ἀπὸ Τλαπολέμου
ξυνὸν ἀγγέλλων διορθῶσαι λόγον,
Ἡρακλέος

5 ἑόν codd.: νέον Bergk    10 κατέχοντ' codd.: κατέχωντ' Π[22]

εὐρυσθενεῖ γέννᾳ. τὸ μὲν γὰρ
πατρόθεν ἐκ Διὸς εὔχονται· τὸ δ' Ἀμυντορίδαι
ματρόθεν Ἀστυδαμείας.
ἀμφὶ δ' ἀνθρώπων φρασὶν ἀμπλακίαι
ἀναρίθμητοι κρέμανται· τοῦτο δ' ἀμάχανον εὑρεῖν,
ὅτι νῦν ἐν καὶ τελευτᾷ φέρτατον ἀνδρὶ τυχεῖν.
καὶ γὰρ Ἀλκμήνας κασίγνητον νόθον
σκάπτῳ θενὼν
σκληρᾶς ἐλαίας ἔκτανεν Τί-
ρυνθι Λικύμνιον ἐλθόντ' ἐκ θαλάμων Μιδέας
τᾶσδέ ποτε χθονὸς οἰκι-
στὴρ χολωθείς. αἱ δὲ φρενῶν ταραχαί
παρέπλαγξαν καὶ σοφόν. μαντεύσατο δ' ἐς θεὸν ἐλθών.
τῷ μὲν ὁ χρυσοκόμας εὐ-
ώδεος ἐξ ἀδύτου ναῶν πλόον
εἶπε Λερναίας ἀπ' ἀκτᾶς
εὐθὺν ἐς ἀμφιθάλασσον νομόν,
ἔνθα ποτὲ βρέχε θεῶν βασιλεὺς ὁ μέγας
χρυσέαις νιφάδεσσι πόλιν,
ἀνίχ' Ἁφαίστου τέχναισιν
χαλκελάτῳ πελέκει πα-
τέρος Ἀθαναία κορυφὰν κατ' ἄκραν
ἀνορούσαισ' ἀλάλαξεν ὑπερμάκει βοᾷ.
Οὐρανὸς δ' ἔφριξέ νιν καὶ Γαῖα μάτηρ.

Γ' τότε καὶ φαυσίμβροτος δαίμων Ὑπεριονίδας
μέλλον ἔντειλεν φυλάξασθαι χρέος
παισὶν φίλοις,
ὡς ἂν θεᾷ πρῶτοι κτίσαιεν
βωμὸν ἐναργέα, καὶ σεμνὰν θυσίαν θέμενοι
πατρί τε θυμὸν ἰάναι-
εν κόρᾳ τ' ἐγχειβρόμῳ. ἐν δ' ἀρετάν
ἔβαλεν καὶ χάρματ' ἀνθρώποισι προμαθέος αἰδώς·
ἐπὶ μὰν βαίνει τι καὶ λάθας ἀτέκμαρτα νέφος,
καὶ παρέλκει πραγμάτων ὀρθὰν ὁδόν
ἔξω φρενῶν.

καὶ τοὶ γὰρ αἰθοίσας ἔχοντες
σπέρμ' ἀνέβαν φλογὸς οὔ· τεῦξαν δ' ἀπύροις ἱεροῖς
ἄλσος ἐν ἀκροπόλει. κεί-
νοισι μὲν ξανθὰν ἀγαγὼν νεφέλαν
πολὺν ὗσε χρυσόν· αὐτὰ δέ σφισιν ὤπασε τέχναν
πᾶσαν ἐπιχθονίων Γλαυκ-
ῶπις ἀριστοπόνοις χερσὶ κρατεῖν.
ἔργα δὲ ζωοῖσιν ἑρπόν-
τεσσί θ' ὁμοῖα κέλευθοι φέρον·
ἦν δὲ κλέος βαθύ. δαέντι δὲ καὶ σοφία
μείζων ἄδολος τελέθει.
φαντὶ δ' ἀνθρώπων παλαιαί
ῥήσιες, οὔπω, ὅτε χθό-
να δατέοντο Ζεύς τε καὶ ἀθάνατοι,
φανερὰν ἐν πελάγει Ῥόδον ἔμμεν ποντίῳ,
ἁλμυροῖς δ' ἐν βένθεσιν νᾶσον κεκρύφθαι.

Δ' ἀπεόντος δ' οὔτις ἔνδειξεν λάχος Ἀελίου·
καί ῥά νιν χώρας ἀκλάρωτον λίπον,
ἁγνὸν θεόν.
μνασθέντι δὲ Ζεὺς ἄμπαλον μέλ-
λεν θέμεν. ἀλλά νιν οὐκ εἴασεν· ἐπεὶ πολιᾶς
εἶπέ τιν' αὐτὸς ὁρᾶν ἔν-
δον θαλάσσας αὐξομέναν πεδόθεν
πολύβοσκον γαῖαν ἀνθρώποισι καὶ εὔφρονα μήλοις.
ἐκέλευσεν δ' αὐτίκα χρυσάμπυκα μὲν Λάχεσιν
χεῖρας ἀντεῖναι, θεῶν δ' ὅρκον μέγαν
μὴ παρφάμεν,
ἀλλὰ Κρόνου σὺν παιδὶ νεῦσαι,
φαεννὸν ἐς αἰθέρα μιν πεμφθεῖσαν ἑᾷ κεφαλᾷ
ἐξοπίσω γέρας ἔσσε-
σθαι. τελεύταθεν δὲ λόγων κορυφαί
ἐν ἀλαθείᾳ πετοῖσαι· βλάστε μὲν ἐξ ἁλὸς ὑγρᾶς

49 κείνοισι μὲν codd.: κείνοις ὁ μὲν Mingarelli νεφέλαν Byz.: νεφέλαν Ζεὺς codd.
68 τελεύταθεν v.l. in codd.: τελεύτασαν codd.

νᾶσος, ἔχει τέ μιν ὀξει-
ᾶν ὁ γενέθλιος ἀκτίνων πατήρ,
πῦρ πνεόντων ἀρχὸς ἵππων·
ἔνθα Ῥόδωι ποτὲ μιχθεὶς τέκεν
ἑπτὰ σοφώτατα νοήματ' ἐπὶ προτέρων
ἀνδρῶν παραδεξαμένους
παῖδας, ὧν εἷς μὲν Κάμιρον
πρεσβύτατόν τε Ἰάλυ-
σον ἔτεκεν Λίνδον τ'· ἀπάτερθε δ' ἔχον,
διὰ γαῖαν τρίχα δασσάμενοι πατρωΐαν,
ἀστέων μοῖραν, κέκληνται δέ σφιν ἕδραι.

Ε΄
τόθι λύτρον συμφορᾶς οἰκτρᾶς γλυκὺ Τλαπολέμωι
ἵσταται Τιρυνθίων ἀρχαγέται,
ὥσπερ θεῶι,
μήλων τε κνισάεσσα πομπὰ
καὶ κρίσις ἀμφ' ἀέθλοις. τῶν ἄνθεσι Διαγόρας
ἐστεφανώσατο δίς, κλει-
νᾶι τ' ἐν Ἰσθμῶι τετράκις εὐτυχέων,
Νεμέαι τ' ἄλλαν ἐπ' ἄλλαι, καὶ κρανααῖς ἐν Ἀθάναις.
ὅ τ' ἐν Ἄργει χαλκὸς ἔγνω μιν, τά τ' ἐν Ἀρκαδίαι
ἔργα καὶ Θήβαις, ἀγῶνές τ' ἔννομοι
Βοιωτίων,
Πέλλανά τ' Αἰγίνα τε νικῶνθ'
ἑξάκις· ἐν Μεγάροισίν τ' οὐχ ἕτερον λιθίνα
ψᾶφος ἔχει λόγον. ἀλλ' ὦ
Ζεῦ πάτερ, νώτοισιν Ἀταβυρίου
μεδέων, τίμα μὲν ὕμνου τεθμὸν Ὀλυμπιονίκαν,
ἄνδρα τε πὺξ ἀρετὰν εὑ-
ρόντα. δίδοι τέ οἱ αἰδοίαν χάριν
καὶ ποτ' ἀστῶν καὶ ποτὶ ξεί-
νων. ἐπεὶ ὕβριος ἐχθρὰν ὁδὸν

76 μοῖραν codd.: μοίρας Meineke 86 Πελλάνα τ' Αἰγινά τε (vel Αἰγίνα τε) codd.: Πέλλανά τ'· Αἰγίναι τε Boeckh

εὐθυπορεῖ, σάφα δαεὶς ἅ τε οἱ πατέρων
　　ὀρθαὶ φρένες ἐξ ἀγαθῶν
ἔχρεον. μὴ κρύπτε κοινὸν
σπέρμ' ἀπὸ Καλλιάνακτος·
　　Ἐρατιδᾶν τοι σὺν χαρίτεσσιν ἔχει
θαλίας καὶ πόλις· ἐν δὲ μιᾶι μοίραι χρόνου
ἄλλοτ' ἀλλοῖαι διαιθύσσοισιν αὖραι.

92 ἔχρεον A: ἔχραον cett.

# ΔΕΥΤΕΡΟΣ ΟΛΥΜΠΙΟΝΙΚΟΣ

## ΘΗΡΩΝΙ ΑΚΡΑΓΑΝΤΙΝΩΙ ΑΡΜΑΤΙ

Α' Ἀναξιφόρμιγγες ὕμνοι,
τίνα θεόν, τίν' ἥρωα, τίνα δ' ἄνδρα κελαδήσομεν;
ἤτοι Πίσα μὲν Διός· Ὀλυμπιάδα
δ' ἔστασεν Ἡρακλέης
ἀκρόθινα πολέμου·
Θήρωνα δὲ τετραορίας ἕνεκα νικαφόρου
γεγωνητέον, ὄπι δίκαιον ξένων,
ἔρεισμ' Ἀκράγαντος,
εὐωνύμων τε πατέρων ἄωτον ὀρθόπολιν·
καμόντες οἳ πολλὰ θυμῶι
ἱερὸν ἔσχον οἴκημα ποταμοῦ, Σικελίας τ' ἔσαν
ὀφθαλμός, αἰὼν δ' ἔφεπε μόρσιμος,
πλοῦτόν τε καὶ χάριν ἄγων
γνησίαις ἐπ' ἀρεταῖς.
ἀλλ' ὦ Κρόνιε παῖ Ῥέας, ἕδος Ὀλύμπου νέμων
ἀέθλων τε κορυφὰν πόρον τ' Ἀλφεοῦ,
ἰανθεὶς ἀοιδαῖς
εὔφρων ἄρουραν ἔτι πατρίαν σφίσιν κόμισον
λοιπῶι γένει. τῶν δὲ πεπραγμένων
ἐν δίκαι τε καὶ παρὰ δίκαν ἀποίητον οὐδ' ἂν
Χρόνος ὁ πάντων πατὴρ
δύναιτο θέμεν ἔργων τέλος·
λάθα δὲ πότμωι σὺν εὐδαίμονι γένοιτ' ἄν.
ἐσλῶν γὰρ ὑπὸ χαρμάτων πῆμα θνάισκει
παλίγκοτον δαμασθέν,

6 ὄπι codd., Π[1]: ὄπιν Hermann ξένων Hermann: ξένον codd., Π[1]
10 μόρσιμος codd.: μόρσιμος ὁ Hermann (metri gratia)

Β′ ὅταν θεοῦ Μοῖρα πέμπηι
ἀνεκὰς ὄλβον ὑψηλόν. ἕπεται δὲ λόγος εὐθρόνοις
Κάδμοιο κούραις, ἔπαθον αἳ μεγάλα·
πένθος δὲ πίτνει βαρύ
κρεσσόνων πρὸς ἀγαθῶν.
ζώει μὲν ἐν Ὀλυμπίοις ἀποθανοῖσα βρόμωι
κεραυνοῦ τανυέθειρα Σεμέλα, φιλεῖ
δέ μιν Παλλὰς αἰεί
καὶ Ζεὺς πατήρ, μάλα φιλεῖ δὲ παῖς ὁ κισσοφόρος·

λέγοντι δ᾽ ἐν καὶ θαλάσσαι
μετὰ κόραισι Νηρῆος ἁλίαις βίοτον ἄφθιτον
Ἰνοῖ τετάχθαι τὸν ὅλον ἀμφὶ χρόνον.
ἦτοι βροτῶν γε κέκριται
πεῖρας οὔ τι θανάτου,
οὐδ᾽ ἡσύχιμον ἁμέραν ὁπότε παῖδ᾽ ἁλίου
ἀτειρεῖ σὺν ἀγαθῶι τελευτάσομεν·
ῥοαὶ δ᾽ ἄλλοτ᾽ ἄλλαι
εὐθυμιᾶν τε μέτα καὶ πόνων ἐς ἄνδρας ἔβαν.

οὕτω δὲ Μοῖρ᾽, ἅ τε πατρώϊον
τῶνδ᾽ ἔχει τὸν εὔφρονα πότμον, θεόρτωι σὺν ὄλβωι
ἐπί τι καὶ πῆμ᾽ ἄγει,
παλιντράπελον ἄλλωι χρόνωι·
ἐξ οὗπερ ἔκτεινε Λᾶϊον μόριμος υἱός
συναντόμενος, ἐν δὲ Πυθῶνι χρησθέν
παλαίφατον τέλεσσεν.

Γ′ ἰδοῖσα δ᾽ ὀξεῖ᾽ Ἐρινύς
ἔπεφνέ οἱ σὺν ἀλλαλοφονίαι γένος ἀρήϊον·
λείφθη δὲ Θέρσανδρος ἐριπέντι Πολυ-
νείκει, νέοις ἐν ἀέθλοις
ἐν μάχαις τε πολέμου

26 post hunc versum habent φιλέοντι δὲ Μοῖσαι codd.: secl. Aristophanes 42 ἔπεφνε Triclinius: πέφνε(ν) codd.

τιμώμενος, Ἀδραστιδᾶν θάλος ἀρωγὸν δόμοις·
ὅθεν σπέρματος ἔχοντα ῥίζαν πρέπει
τὸν Αἰνησιδάμου
ἐγκωμίων τε μελέων λυρᾶν τε τυγχανέμεν.
Ὀλυμπίαι μὲν γὰρ αὐτός
γέρας ἔδεκτο, Πυθῶνι δ' ὁμόκλαρον ἐς ἀδελφεόν
Ἰσθμοῖ τε κοιναὶ Χάριτες ἄνθεα τε-
θρίππων δυωδεκαδρόμων
ἄγαγον· τὸ δὲ τυχεῖν
πειρώμενον ἀγωνίας δυσφρονᾶν παραλύει.
ὁ μὰν πλοῦτος ἀρεταῖς δεδαιδαλμένος
φέρει τῶν τε καὶ τῶν
καιρὸν βαθεῖαν ὑπέχων μέριμναν ἀγροτέραν,
ἀστὴρ ἀρίζηλος, ἐτυμώτατον
ἀνδρὶ φέγγος· εἰ δέ μιν ἔχων τις οἶδεν τὸ μέλλον
ὅτι θανόντων μὲν ἐν-
θάδ' αὐτίκ' ἀπάλαμνοι φρένες
ποινὰς ἔτεισαν, τὰ δ' ἐν τᾷδε Διὸς ἀρχᾷ
ἀλιτρὰ κατὰ γᾶς δικάζει τις ἐχθρᾷ
λόγον φράσαις ἀνάγκᾳ·

Δ' ἴσαις δὲ νύκτεσσιν αἰεί,
ἴσαις δ' ἁμέραις ἅλιον ἔχοντες, ἀπονέστερον
ἐσλοὶ δέκονται βίοτον, οὐ χθόνα τα-
ράσσοντες ἐν χερὸς ἀκμᾷ
οὐδὲ πόντιον ὕδωρ
κενεὰν παρὰ δίαιταν, ἀλλὰ παρὰ μὲν τιμίοις
θεῶν οἵτινες ἔχαιρον εὐορκίαις

45 Ἀδραστιδᾶν Tricl.: Ἀδραστείδαν vel -ειδῶν codd.: Ἀδραστίδων schol. 46 ἔχοντα v.l. in LEN: ἔχοντι codd., Π² 52 δυσφρονᾶν παραλύει Schroeder: δυσφροσύναν παραλύει codd.: παραλύει δυσφρόνων Moschopoulos: παραλύει δυσφρονᾶν Dindorf: ἀφροσυνᾶν παραλύει Mommsen e schol. (ἀφροσυν[ Π²) 54 ἀγροτέραν codd.: ἀβροτέραν Stadtmüller (cf. *P.* 8.89–92) 62 ἴσαις δ' Mommsen: ἴσαις δ' ἐν codd., Π² 63 δέκονται A: δέρκονται cett. 65 κενεὰν codd.: κεινὰν Byz.

ἄδακρυν νέμονται
αἰῶνα, τοὶ δ' ἀπροσόρατον ὀκχέοντι πόνον.
ὅσοι δ' ἐτόλμασαν ἐστρίς
ἑκατέρωθι μείναντες ἀπὸ πάμπαν ἀδίκων ἔχειν
ψυχάν, ἔτειλαν Διὸς ὁδὸν παρὰ Κρό-
νου τύρσιν· ἔνθα μακάρων
νᾶσον ὠκεανίδες
αὖραι περιπνέοισιν· ἄνθεμα δὲ χρυσοῦ φλέγει,
τὰ μὲν χερσόθεν ἀπ' ἀγλαῶν δενδρέων,
ὕδωρ δ' ἄλλα φέρβει,
ὅρμοισι τῶν χέρας ἀναπλέκοντι καὶ στεφάνους
βουλαῖς ἐν ὀρθαῖσι Ῥαδαμάνθυος,
ὃν πατὴρ ἔχει μέγας ἑτοῖμον αὐτῶι πάρεδρον,
πόσις ὁ πάντων Ῥέας
ὑπέρτατον ἐχοίσας θρόνον.
Πηλεύς τε καὶ Κάδμος ἐν τοῖσιν ἀλέγονται·
Ἀχιλλέα τ' ἔνεικ', ἐπεὶ Ζηνὸς ἦτορ
λιταῖς ἔπεισε, μάτηρ·

Ε΄ ὃς Ἕκτορα σφᾶλε, Τροίας
ἄμαχον ἀστραβῆ κίονα, Κύκνον τε θανάτωι πόρεν,
Ἀοῦς τε παῖδ' Αἰθίοπα. πολλά μοι ὑπ'
ἀγκῶνος ὠκέα βέλη
ἔνδον ἐντὶ φαρέτρας
φωνάεντα συνετοῖσιν· ἐς δὲ τὸ πὰν ἑρμανέων
χατίζει. σοφὸς ὁ πολλὰ εἰδὼς φυᾶι·
μαθόντες δὲ λάβροι
παγγλωσσίαι κόρακες ὣς ἄκραντα γαρύετον
Διὸς πρὸς ὄρνιχα θεῖον·
ἔπεχε νῦν σκοπῶι τόξον, ἄγε θυμέ· τίνα βάλλομεν

71 νᾶσον codd.: νᾶσος G  74 στεφάνους codd., $\Pi^{8}$: στεφάνοις v.l. in codd.  76 μέγας $\Pi^{8}$: γᾶς codd.  77 ὑπέρτατον ἐχοίσας Byz.: ὕπατον ἐχοίσας παῖς codd.  81 Ἕκτορα σφᾶλε A, $\Pi^{8}$: Ἕκτορ' ἔσφαλε cett.  87 γαρύετον codd.: γαρυέτων Bergk

ἐκ μαλθακᾶς αὖτε φρενὸς εὐκλέας ὀ-
ϊστοὺς ἱέντες; ἐπί τοι
Ἀκράγαντι τανύσαις
αὐδάσομαι ἐνόρκιον λόγον ἀλαθεῖ νόωι,
τεκεῖν μή τιν' ἑκατόν γε ἐτέων πόλιν
φίλοις ἄνδρα μᾶλλον
εὐεργέταν πραπίσιν ἀφθονέστερόν τε χέρα
Θήρωνος. ἀλλ' αἶνον ἐπέβα κόρος
οὐ δίκαι συναντόμενος, ἀλλὰ μάργων ὑπ' ἀνδρῶν,
τὸ λαλαγῆσαι θέλων
κρυφὸν τιθέμεν ἐσλῶν καλοῖς
ἔργοις· ἐπεὶ ψάμμος ἀριθμὸν περιπέφευγεν,
καὶ κεῖνος ὅσα χάρματ' ἄλλοις ἔθηκεν,
τίς ἂν φράσαι δύναιτο;

97 θέλων codd.: θέλον Coppola  κρυφὸν Aristarchus: κρύφιον codd.  τιθέμεν Hermann: τε θέμεν codd.  ἐσλῶν καλοῖς Aristarchus: ἐσ(θ)λὸν (ἐλὼν A) κακοῖς codd.  99 καὶ κεῖνος Mommsen: κἀκεῖνος codd.